UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Strategio, Episcopo nuper instituto. 11.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Χαιρήμονι, Ἀνατολίῳ, Γοτθίῳ, Μάρωνι. ι.

Ἐπειδὴ τοῖς ἁγίοις ὁ βίος ὁ ὑμέτερος δακρύων γέγονεν ὑπόθεσις ἀεννάων, λογιζομένοις δι᾽ ἣν αἰτίαν χριστιανοὶ φάσκοντες εἶναι, ἐπικούρειον διαζῆτε βίον, οὔτε ἔργον ἀκολασίας καταλείψαντες ἄπρακτον, οὔτε λόγον αἰσχρὸν ἄῤῥητον, γέγραφα παραινῶν, ὅπως γνωσιμαχήσαντες, ἑαυτοὺς μὲν αἰσχύνης καὶ ὀνειδῶν, καὶ τῆς μελλούσης ἀδεκάστου κρίσεως, τοὺς δὲ ἁγίους τῆς ἐφ᾽ ἑαυτοῖς λύπης, τὴν δὲ ἐκκλησίαν δυσεκπλύτου κηλῖδος ἀπαλλάξητε.

Στρατηγίῳ ἐπισκόπῳ νεωστὶ καταστάντι. ια

Ἴσθι τιμιώτατε, ὅτι ἐν παντὶ μὲν τῷ βίῳ, μάλιστα δὲ νῦν ἐπιβαίνων τοῖς (*margin:* ἐείαις.) ὅροις τῆς δοξάσης μὲν εἶναι ἀρχῆς, οὔσης δὲ λειτουργίας, δίκαιος ἂν εἴης κολάζειν τὰς αὐτοῦ ἐπιθυμίας, ὥστε μηδενὸς τῶν παρὰ τοῖς ὑπηκόοις φαύλων ἡττᾶσθαι. καὶ γὰρ αἴσχιστον εἰ τοῖς ἀρχομένοις ἐπιτάττειν βουλόμενος, φωραθείης μηδὲ σαυτοῦ ἄρχειν δυνάμενος.

Γαΐῳ. ιβ.

Ὅτι ἡ κακία τὸ τερπνὸν ὀλέθριον ἔχει, ἡ δ᾽ ἀρετὴ τὸ ἐπίπονον, (*margin:* εὐκλεές τε.) εὐκλεέστατε, καὶ εὐδόκιμον, ἱδρῶσι γὰρ ἡδέως ἀρδεύεται ἡ εὐδοκίμησις, οἶσθα. χρὴ τοίνυν τὴν μὲν φεύγειν, τῆς δ᾽ ἀπρὶξ ἔχεσθαι.

Εὐτονίῳ διακόνῳ. ιγ.

Τοσοῦτον οἱ συνοικοῦντες τῇ ἀρετῇ τῶν ἀμοιρούντων αὐτῆς διενηνόχασιν, ὅσον ἄνθρωποι μὲν τῶν θηρίων, ἄγγελοι δὲ τῶν ἀνθρώπων. καὶ γάρ τοι πο-

*Chæremoni, Anatolio, Gotthio, Maroni.* 10.

Quoniam vita veſtra perenniũ lachrymarum cauſam & materiam ſanctis viris præbuit (conſiderantibus nimirum quidnam cauſę ſit, quòd vos, cùm Chriſtianorũ nomen vſurpetis, Epicuream tamen vitam ducatis, vt qui nec vllum libidinis atque intemperantiæ facinus non perpetratum, nec fœdum vllum & obſcœnum ſermonem non prolatum reliqueritis) hac epiſtola vos moneo vt ab improba vitæ ratione animum adducentes, & vos ipſos probris atque infamia, futuríque iudicij ſeueritate, & ſanctos viros ea, in qua, veſtra cauſa verſantur, mœſtitia, ac deniquè Eccleſiam graui, nec facilè eluenda macula liberetis.

*Strategio, Epiſcopo nuper inſtituto.* 11.

Illud ſcias velim, vir præſtãtiſſime, quòd cùm in omni vitæ curriculo, tum nunc præſertim cùm ad fines, non tam imperij, vt tu exiſtimaſti, quàm officij ac miniſterij aſcendiſti, æquum ſit cupiditates iam tuas reprimere atque coercere: ita vt vitiorum eorum, quibus ſubditi laborant, nulli ſuccumbas. Turpiſſimum enim fuerit, ſi iis qui tibi ſubſunt, imperare cupiens ita affectus eſſe deprehendaris, vt ne tibi quidem ipſi præeſſe queas.

*Caio.* 12.

Non te fugit, vir clariſſime, vitium quidem peſtiferam voluptatem habere: virtutem autem laborem cùm gloria nominíſque ſplendore coniunctum. Siquidẽ gloria ſudoribus libenter irrigatur. Oportet igitur illud fugere, hanc autem mordicus retinere.

*Eutonio Diacono.* 13.

Qui virtutem contubernalem habent, iis, qui ipſius expertes ſunt, tantum præſtant, quãtum homines belluis, & Angeli hominibus antecellunt. Siquidem per fo-